f. 75 εἶδος ἐν τοῖς γεννητοῖς | οὐδὲν τιμιώτερον. Καὶ ἕως ἐστὶν ἡ ὕλη ἐν τῷ προτέρῳ εἴδει, δυνάμει ἐστὶ πρὸς τὸ μετ' αὐτό, ἕως ἂν πρὸς τὸ ἔσχατον ἔλθοι, ὃ καὶ τῆς γενέσεως τέλος ἐστί, καὶ πρὸς ὃ ἔσχατον ἡ ἔφεσις τείνει τῆς ὕλης· τοῦτο δέ ἐστιν ἡ νοερὰ τοῦ ἀνθρώπου ψυχή, ὡς εἶναι τὰ μὲν στοιχεῖα διὰ τὰ μικτὰ σώματα, ταῦτα δὲ διὰ τὰ ζῶντα, ἐν οἷς τὰ μὲν φυτὰ διὰ τὰ ζῷα, τὰ δὲ ζῷα διὰ τὸν ἄνθρωπον, ὃς τέλος δήπου τῆς γενέσεως ὅλης. Ὁ αὐτὸς δὲ ἐν πᾶσι τῷ τοῦ εἶναι τρόπῳ καὶ ὁ τῆς αὐτῶν συντηρήσεως εὐλόγως· ὁρῶμεν γὰρ τὰ μὲν μικτὰ ταῖς εὐαρμόστοις ποιότησι τῶν στοιχείων διακρατούμενα, ἐξ αὐτῶν δὲ τῶν μικτῶν τὰ φυτὰ τρεφόμενα, τὰ δὲ ζῷα αὖ ἐκ τῶν φυτῶν, ζῷα δὲ ἰσχυρότερα καὶ τελειότερα ἔκ τινων ἀτελεστέρων τε καὶ ἀσθενεστέρων. Ὁ δὲ ἄνθρωπος χρῆται πᾶσι πρὸς οἰκείαν ὠφέλειαν καὶ ταῖς πάντων γενέσεσι, ποῦ μὲν πρὸς τροφήν, ποῦ δὲ πρὸς ἱμάτιον· ὅθεν καὶ γυμνὸς ὑπὸ τῆς φύσεως κατεσκεύασται, ἵνα ἐκεῖθεν ἐνδύηται, ὥσπερ καὶ τροφὴν αὐτῷ ἡ φύσις ἡτοίμασεν ἰδίαν τὸ γάλα, ἵνα ἐκ τῶν διαφόρων ἑαυτῷ τὴν τροφὴν ἐπιζητοίη. Τισὶ δὲ ζῴοις καὶ πρὸς ὄχημα χρῆται, πρὸς τὸ πόνους ὑποφέρειν πολλῶν ζῴων ἀργότερος ἐν τῇ κινήσει καὶ ἀσθενέστερος ὤν, πρὸς βοήθειαν προευτρεπισμένοις· καὶ ἐπὶ πᾶσι κέχρηται τοῖς αἰσθητοῖς πρὸς τὴν τῆς νοερᾶς τελείωσιν γνώσεως· ὅθεν εἴρηται ἐν ψαλμοῖς· „Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ", καὶ Ἀριστοτέλης ἐν πρώτῳ τῶν Πολιτικῶν· „Ὁ ἄνθρωπος, φησί, φυσικὴν ἀρχὴν ἐπὶ πάντα τὰ ζῷα ἔχει". Εἰ τοίνυν ἡ τοῦ οὐρανοῦ κίνησις πρὸς τὴν γένεσιν τέτακται, ἡ δὲ γένεσις ὅλη πρὸς τὸν ἄνθρωπον ὡς εἰς ἔσχατον τέλος τῆς γενέσεως ταύτης, καὶ τῆς τοῦ οὐρανοῦ κινήσεως ἄρα τὸ τέλος ὡς εἰς ἔσχατον, τὸν ἄνθρωπον, τέτακται ἐν τῷ γένει τῶν κινητῶν καὶ γεννητῶν· κἀντεῦθέν ἐστι τὸ ἐν Δευτερονομίῳ· „Τὰ οὐράνια σώματα ἐποίησεν εἰς διακονίαν πᾶσι τοῖς ἔθνεσιν".

XXIII. — Ὅτι ὁ οὐρανὸς ὑπό τινος νοερᾶς κινεῖται δυνάμεως.

Οὐδὲν γὰρ κατὰ τὸ εἶδος ποιοῦν ὑψηλότερον εἶδος τοῦ ἰδίου σκοπεῖ· πᾶν γὰρ τὸ ποιοῦν σκοπεῖ τὸ ὅμοιον ἑαυτῷ· τὸ δὲ οὐράνιον σῶμα τῇ κινήσει ποιοῦν σκοπεῖ ὡς ἔσχατον τὸν ἀνθρώπινον νοῦν, ὑψηλότερον ὄντα παντὸς εἴδους σωματικοῦ· οὐκ ἄρα τὸ οὐράνιον σῶμα πρὸς τὴν γένεσιν ἐνεργεῖ κατὰ τὸ ἴδιον εἶδος ὡς πρώτως ποιοῦν, ἀλλὰ κατ' εἶδος ὑψηλοτέρου
f. 75v τινὸς ποιοῦντος καὶ νοεροῦ, | πρὸς ὃ τὸ οὐράνιον σῶμα ὥσπερ ὄργανον ἔχει πρὸς τὸ πρώτως ποιοῦν· ποιεῖ δὲ πρὸς τὴν γένεσιν τὸ οὐράνιον σῶμα καθόσον κινεῖται· ὑπό τινος ἄρα νοερᾶς οὐσίας κινεῖται.

Ἔτι, πᾶν τὸ κινούμενον ὑπό του κινεῖται, ὥς τε καὶ τὸ σῶμα τοῦ οὐρανοῦ· ἔσται δὴ τὸ κινοῦν αὐτὸν ἢ κεχωρισμένον, ἢ ἡνωμένον· ἑκα-

19 Ps. 8, 8   26 Deut. 4, 19

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τέρωθεν δὲ νοῦς ἐστι τὸ κινοῦν καὶ νοερὰ οὐσία. Εἰ μὲν γὰρ ἥνωται τὸ κινοῦν, ἑαυτὸν ὁ οὐρανὸς κινεῖ, καὶ πᾶν ἑαυτὸ κινοῦν, ἔμψυχον· ἔμψυχος δ' ἂν εἴη οὐ θρεπτικῇ ψυχῇ· οὐ γάρ ἐστιν ἐν αὐτῷ γένεσις καὶ φθορά· οὐδ' αἰσθητικῇ· διαφορὰν γὰρ ὀργάνων οὐκ ἔχει· νοερᾷ ἄρα. Εἰ δὲ ἐξωτερικὸν τὸ κινοῦν, εἰ μὲν σῶμα, ἐπ' ἄπειρον προχωρήσει· κινήσει γὰρ κἀκεῖνο κινούμενον· ἢ ἐπί τι ἀσώματον κινοῦν στήσεται· εἰ δ' ἀσώματον, καὶ οὕτως ἀσώματον τὸ κινοῦν εὐθὺς ἔσται, καὶ νοερὸν ἄρα ἀκολούθως.

Δῆλον δὲ καὶ ὅτι οὐχ ὥσπερ τὰ ἄλλα σώματα τὰ βαρέα καὶ κοῦφα, κινοῦνται καθ' αὑτὰ μὲν ὑπὸ τοῦ γεννῶντος, κατὰ δὲ συμβεβηκὸς ὑπὸ τοῦ τὸ κωλύον ἀφαιροῦντος· ἀλλ' ἀγέννητα ὄντα καὶ ἀκώλυτα τῇ κινήσει, ὡς μὴ ἔχοντα ἐναντιότητα, κινοῦνται δι' ἐπιλήψεως, τουτέστι συνεγγυσμοῦ ἢ ἀφῆς, οὐ μέντοι αἰσθητικῆς· νοερᾶς ἄρα.

Φανερὸν δὲ καὶ ὅτι ἡ κίνησις τοῦ οὐρανοῦ, κατὰ μὲν τὴν ποιητικὴν ἀρχήν, οὐκ ἔστι φυσική· οὐ γὰρ ἔνδον αὐτοῦ ἡ ποιητικὴ ἀρχή, φύσις δὲ ἀρχὴ κινήσεως ἐν ᾧ ἐστιν· κατὰ δὲ τὸν τῆς παθητικῆς ἀρχῆς λόγον φυσική. Ἀρχὴ δὲ τοιαύτη, ἡ ὕλη, ᾗ ἔνεστι φυσικὴ ἔφεσις τοῦ φυσικοῦ εἴδους. Οὐ φυσικὴ τοίνυν οὖσα ὅσον πρὸς τὴν ποιητικὴν ἀρχήν, ἔστι νοερὰ καὶ ἑκούσιος ἡ τοῦ οὐρανοῦ κίνησις· ἀλλ' οὔτε βίᾳ διὰ τοῦτο κινεῖται, ὡς τὰ βαρέα καὶ κοῦφα κινούμενα ὑφ' ἡμῶν διὰ νοῦ βιαίως κινοῦνται· ἐκεῖνα γὰρ καὶ φυσικῶς ἔχει πως ἐπιτηδειότητα πρὸς τὴν ἐναντίαν κίνησιν ἢ ὑπὸ νοῦ βίᾳ κινεῖται, τὰ δὲ οὐράνια σώματα πρὸς ἐκείνην τὴν κίνησιν πέφυκε μόνην ᾗ ὑπὸ τῆς νοερᾶς οὐσίας κινεῖται, οὔτε ἡ ἑνότης καὶ τὸ ὁμοειδὲς τῆς οὐρανίου κινήσεως εἴργεται, ὡς τῆς θελήσεως ἐπὶ πλείω φερομένης καὶ οὐχ ἓν ὡρισμένως. Ὡς γὰρ ἡ φύσις διὰ τῆς ἰδίας δυνάμεως εἰς ἓν ὥρισται, οὕτω καὶ ἡ τελεία καὶ ἀνενδεὴς καὶ σοφὴ θέλησις διὰ τῆς ἰδίας σοφίας εἰς ἓν ἀφορίζεται· τῇ γὰρ σοφίᾳ ἀπλανῶς εἰς ἓν ἰθύνεται τέλος.

Ἀλλ' οὐδὲ παρὰ φύσιν | ἐν τῷ οὐρανῷ ἢ ἡ πρός τι ποῦ προσχώρησις, f. 76 ἢ ἡ ἀπὸ τοῦ αὐτοῦ ἀποχώρησις, ὡς ἐπὶ τῶν βαρέων καὶ κούφων· ἐκεῖ μὲν γὰρ ὁ τῆς φύσεως σκοπὸς ὥρισται πρὸς ἕνα τόπον, οὗ παρὰ φύσιν ἡ ἀποχώρησις, ὡς ἡ προσχώρησις κατὰ φύσιν· καὶ δύο κινήσεις ἐκεῖ, μία ἡ ἀπὸ τοῦ μέσου, καὶ ἄλλη ἡ ἐπὶ τὸ μέσον, ἐναντία, ὧν τὴν ἑτέραν ἑκάστῳ τῶν στοιχείων φυσικὴν εἶναι δεῖ, τὴν δὲ ἑτέραν παρὰ φύσιν. Ἐν δὲ τῷ οὐρανῷ οὐκ εἰσὶν ἐναντίαι κινήσεις, ἀλλὰ μία καὶ συνεχής· καὶ ὁ τῆς φύσεως σκοπὸς οὐκ ἔστι πρὸς ἕν τι ποῦ ὡρισμένως· τὸ γὰρ ὅλον ὁμοίως ἡ φύσις σκοπεῖ· οὐδὲ ἔστιν ἐν τῷ οὐρανῷ κινουμένῳ ἡ ἀπὸ τοῦ αὐτοῦ σημείου καὶ ἐπὶ τὸ αὐτὸ ἀποχώρησις καὶ προσχώρησις αὖ ἐναντίαι, ἀλλὰ μία διὰ τούτων καὶ συνεχὴς κίνησις ἐστίν, καὶ πᾶν ποῦ ἐν τῇ κινήσει τοῦ οὐρανοῦ ὥσπερ μέσον ἐστί, καὶ οὐχ ὡς τὸ ἔσχατον ἐν τῇ κατ' εὐθεῖαν κινήσει.



Ε.Υ.Δ της Κ.Π ΙΩΑΝΝΙΝΑ 2006

Διαφέρει δὲ οὐδὲν πρὸς τὴν παροῦσαν πρόθεσιν πότερον τὸ οὐράνιον σῶμα ὑπὸ νοερᾶς οὐσίας συνημμένης κινεῖται ὡς ψυχῆς, ἢ ὑπὸ χωριστῆς, καὶ πότερον ἕκαστον τῶν οὐρανίων σωμάτων ἀμέσως ὑπὸ Θεοῦ κινεῖται, ἢ οὐδέν, ἀλλὰ μεσιτευουσῶν νοερῶν τινων κτιστῶν οὐσιῶν· ἢ τὸ μὲν πρῶτον μόνον ἀμέσως ὑπὸ Θεοῦ, τὰ δὲ ἄλλα μεσιτευουσῶν τῶν κτιστῶν οὐσιῶν, ἅπαξ δεδειγμένου τὴν οὐράνιον κίνησιν ὑπὸ νοερᾶς εἶναι οὐσίας.

## XXIV. — Ὅτι καὶ τὰ γνώσεως ἐστερημένα τοῦ ἀγαθοῦ ἐφίενται.

Καὶ γὰρ καὶ τὰ γνώσεως ἐστερημένα φυσικὰ σώματα κινοῦσι καὶ ποιοῦσιν ἕνεκα τέλους· φέρονται γὰρ ἐπ' αὐτὸ ὥσπερ ὑπὸ τῆς νοερᾶς οὐσίας κινούμενα, ὡς ἐπὶ τὸν σκοπὸν ὑπὸ τοῦ τοξότου τὸ βέλος· διὸ καὶ πᾶν ἔργον τῆς φύσεως ἔργον ἐστὶ νοερᾶς οὐσίας ὡς πρώτως κινούσης, καὶ μᾶλλον ἐστὶν αὐτῆς ἔργον ἢ τῶν ὑπ' αὐτῆς κινουμένων ὀργάνων. Ὅθεν καὶ αἱ τῆς φύσεως ἐνέργειαι τεταγμένως προΐασιν, ὡς αἱ τοῦ ἐπιστήμονος. Εἰ δὴ καὶ τὰ γνώσεως ἐστερημένα τοῦ τέλους ἕνεκα ἐνεργοῦσιν, πρὸς ὃ ὑπὸ τῆς νοερᾶς οὐσίας ἰθύνονται ἢ ἀμέσως, ὡς τὸ οὐράνιον σῶμα, ἢ ἐμμέσως, ὡς τὰ ἄλλα, μεσιτεύοντος τοῦ οὐρανοῦ καὶ τῶν ὑψηλοτέρων ἄχρι τῶν ἐσχάτων, καὶ ἡ πρώτη αἰτία πάντα τὰ εἴδη καὶ τὰς κινήσεις ἐν τοῖς ὑποκάτω ἀπὸ τῶν νοητῶν εἰδῶν παράγει τῶν ἐν αὐτῇ ὡς ἐν πρωτίστῳ νῷ, διὰ τῆς τοῦ οὐρανοῦ κινήσεως, εὔδηλον ὅτι πάντα ταῦτα καὶ τοῦ
f. 76v ἀγαθοῦ | φύσει ἐφίεται· τὸ γὰρ τῆς ἰδίας τελειότητος καὶ τῆς θείας ὁμοιότητος ἐπιθυμεῖν, τοῦτο ἐστίν· ἐφιέμενα δὲ τῆς θείας ὁμοιότητος, καὶ τοῦ ἰδίου ἀγαθοῦ, ὅπερ ἕκαστον σκοπεῖ οἰκείως τῇ ἑαυτοῦ φύσει ὡς προσεχὲς τέλος, δηλονότι ἐπιθυμοῦσιν· ὥστε τῆς θείας ὁμοιότητος ὡς ἐσχάτου τέλους ἐφίενται.

Τὸ δὲ ἑκάστου ἴδιον ἀγαθὸν πολλαχῶς ἐστιν· ἢ γὰρ τῷ λόγῳ τοῦ ἀτόμου, ὡς ὅταν τὸ ζῷον ἐπιθυμῇ τροφῆς ὥστε συντηρεῖσθαι ἐν τῷ εἶναι δι' αὐτῆς· ἢ τῷ λόγῳ τοῦ εἴδους, ὡς ὅταν τεκνοποιῇ καὶ τρέφει τὸ γεννηθὲν ἢ προπολεμῇ τῶν ἀτόμων τοῦ ἰδίου εἴδους, σὺν ἐφέσει ταῦτα ποιοῦν φυσικῇ· ἢ τῷ λόγῳ τοῦ γένους, ὡς τὰ ὁμωνύμως ποιοῦντα τοῦ ἰδίου ἐφίεται ἀγαθοῦ ἐν τῷ πρὸς τὴν θείαν ὁμοιότητα τείνειν, ὥσπερ ὁ οὐρανός· ἢ ὑπὲρ ταῦτα, τῷ λόγῳ τῆς ἀναλογικῆς ὁμοιότητος, τῶν ὑπὸ τὴν ἀρχήν, πρὸς αὐτήν, καὶ οὕτως ὁ Θεός, ἔξω τοῦ γένους τῶν ὄντων ὤν, τοῦ οἰκείου ἕνεκα ἀγαθοῦ πᾶσι δίδωσι τὸ εἶναι. Ὅθεν δῆλον, ὡς ὅσῳ τι τελειοτέρας δυνάμεως καὶ ἀγαθότητος ἐστίν, τοσούτῳ τὴν τοῦ ἀγαθοῦ ἔφεσιν κοινοτέραν ἔχει καὶ τὸ ἀγαθὸν ἐν τοῖς μᾶλλον αὐτοῦ διεστῶσι ζητεῖ καὶ ἐνεργεῖ. Καὶ γὰρ τὰ ἀτελῆ πρὸς μόνον τείνουσι τὸ ἀγαθὸν τοῦ ἰδίου ἀτόμου· τὰ δὲ τέλεια, καὶ πρὸς τὸ τοῦ εἴδους· τὰ δὲ τελειότερα, πρὸς τὸ τοῦ γένους· ὁ δὲ Θεός, τελειότατος τῇ ἀγαθότητι ὤν, πρὸς τὸ τοῦ ὅλου

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὄντος· ὅθεν λέγεται τὸ ἀγαθόν, ᾗ τοιοῦτον, μεταδοτικὸν εἶναι, καὶ ὅσῳ βέλτιον, τοσούτῳ πρὸς πλείω καὶ τὰ πορρώτερον τὴν ἰδίαν ἐκχεῖν ἀγαθότητα.

Ἔτι τε ὁ Θεὸς τελειότατος ὤν, παράδειγμα καὶ μέτρον ἐστὶ πάντων τῶν τῆς ἀγαθότητος μεταδοτικῶν, ὡς εἰκός· καθόσον δὲ ἕκαστον τοῖς ἄλλοις τῆς ἀγαθότητος μεταδίδωσιν, ὑψηλότερόν ἐστιν αἴτιον, κἀντεῦθεν φανερόν, ὡς ἕκαστον ἑτέρων αἴτιον εἶναι σπεῦδον, εἰς τὴν θείαν ὁμοιότητα τείνει, καὶ οὐδὲν ἧττον εἰς τὸ ἴδιον ἀγαθόν. Ὅθεν οὐδ' ἄτοπον εἰ αἱ κινήσεις τῶν οὐρανίων σωμάτων καὶ αἱ ἐνέργειαι τῶν κινούντων αὐτὰς λέγοιντο εἶναι ἁμηγέπῃ τῶν γινομένων καὶ φθειρομένων σωμάτων ἕνεκα, ἅπερ ἐκείνων εἰσὶν ἀτιμότερα. Οὐ γάρ εἰσιν αὐτῶν ἕνεκα ὡς ἐσχάτου τέλους, ἀλλὰ τὴν γένεσιν τούτων σκοποῦντα, τὸ ἴδιον σκοποῦσιν ἀγαθὸν καὶ τὴν θείαν ὁμοιότητα ὡς ἔσχατον τέλος.

## XXV. — Ὅτι τὸ τὸν Θεὸν νοεῖν τῆς νοερᾶς οὐσίας τέλος ἐστίν.

Ἐπεὶ δὲ πάντα καὶ τὰ νοῦ ἐστερημένα κτίσματα, ὥσπερ εἰς ἔσχατον f. 77
τέλος, εἰς τὸν Θεόν εἰσι τεταγμένα, πρὸς δὲ τοῦτ' ἀφικνοῦνται πάντα τὸ τέλος καθόσον τῆς θείας ὁμοιότητός τι μετέχουσιν, τὰ νοερὰ κτίσματα ὑψηλοτέρῳ τινὶ καὶ ἰδικωτέρῳ τρόπῳ πρὸς τὸν Θεὸν ἀφικνοῦνται, τουτέστι τῷ διὰ τῆς ἰδίας ἐνεργείας αὐτὸν νοεῖν, ὥστ' ἀνάγκη τοῦτ' εἶναι τοῦ νοεροῦ κτίσματος τέλος, τὸ τὸν Θεὸν δηλονότι νοεῖν· ἔσχατον γὰρ παντὸς πράγματος τέλος ὁ Θεός ἐστιν. Σκοπεῖ τοίνυν ἕκαστον ὥσπερ ἐσχάτῳ τέλει τῷ Θεῷ συναφθῆναι, ὡς οἷόν τε· οἰκειότερον δέ τι συνάπτεται τῷ Θεῷ καθόσον τῆς οὐσίας αὐτοῦ κατά τινα τρόπον ἅπτεται, ὃ γίνεται, ὅταν τι περὶ τῆς θείας οὐσίας γινώσκῃ μᾶλλον, ἢ ὅταν τινὸς ἑτέρας τυγχάνῃ ὁμοιότητος. Ἡ νοερὰ ἄρα οὐσία εἰς τὴν θείαν γνῶσιν ὥσπερ εἰς ἔσχατον τείνει τέλος, καὶ οὐ μόνον ἡ ὑψηλοτέρα, ἀλλὰ καὶ ἡ ταπεινοτέρα τέλος ἔχει τὸ νοεῖν τὸν Θεόν. Ὁ γὰρ ἀνθρώπινος νοῦς, καὶ ταπεινότερος ὢν ἐν τῇ τάξει τῶν νοερῶν, ὑψηλότερόν ἐστι πάντων τῶν ἐστερημένων νοῦ, ὧν καὶ πάντων ἔσχατον ὁ Θεὸς τέλος. Πολλῷ ἄρα μᾶλλον τέλος ἐστὶν αὐτοῦ τοῦ ἀνθρωπίνου νοῦ ὁ Θεός. Ἀλλὰ πᾶν τὸ νοοῦν τοῦ ἰδίου ἐσχάτου τέλους τυγχάνει τῷ νοεῖν αὐτό, ὥστε ἐν τῷ νοεῖν ὁ ἀνθρώπινος νοῦς ὡς εἰς ἔσχατον τέλος τὸν Θεὸν ἀφικνεῖται. Δῆλον δὲ τοῦτο καὶ ἐντεῦθεν, ὅτι ὁ ἀνθρώπινος νοῦς μᾶλλον ἐπιθυμεῖ καὶ ἥδεται τῇ γνώσει τῶν θείων, εἰ καὶ βραχὺ ταύτης μετέχειν δύναιτο, ἢ τῇ ἐντελεῖ περὶ τῶν ταπεινοτέρων γνώσει· ἕκαστον δέ, οὗ μάλιστα ἐφίεται, τοῦτο ἔσχατον ἔχει τέλος.

Ἔτι, φύσει πᾶσιν ἀνθρώποις ἔνεστιν ὄρεξις τοῦ γινώσκειν τὰς αἰτίας τῶν ὁρωμένων, καὶ πολλῷ μᾶλλον τὴν πρώτην αἰτίαν, ἧς ἡ γνῶσις μάλιστα τελειοῖ· ἀλλὰ πρώτη πάντων αἰτία ὁ Θεός· τὸ ἄρα γινώσκειν αὐτόν, ἔσχατον τέλος ἀνθρώπου.



Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, ὅσῳ τι σῶμα τῇ φυσικῇ ῥοπῇ πρὸς τὸ ἑαυτοῦ ποῦ φερόμενον τῷ τέλει προσεγγίζει, τοσούτῳ σφοδρότερον καὶ θᾶττον κινεῖται. Οὕτω καὶ ὅσῳ τὰς πλείω γινώσκει [ὁ ἄνθρωπος], τοσούτῳ μειζόνως γινώσκειν ἐπιθυμεῖ διὰ τὸ πρὸς τὸ τέλος ὡρισμένον τὴν φυσικὴν τείνειν ἔφεσιν ἐν τῷ γινώσκειν· τοῦτο δὲ οὐδέν ἐστιν ἄλλο ἢ τὸ τιμιώτατον τῶν γνωστῶν, ὅ ἐστιν ὁ Θεός· ἡ θεία ἄρα γνῶσις ἔσχατον τέλος τοῦ ἀνθρώπου καὶ f. 77v πάσης νοερᾶς οὐσίας, | ὅπερ εὐδαιμονία καὶ μακαριότης ὀνομάζεται.

Ἐντεῦθέν ἐστι τὸ ἐν τῷ κατὰ Ματθαῖον· „Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται“, καὶ τὸ ἐν τῷ Ἰωάννῃ· „Αὕτη δέ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεόν“, καὶ Ἀριστοτέλης ἐν ἐσχάτῳ τῶν ἠθικῶν τὴν ἐσχάτην τοῦ ἀνθρώπου εὐδαιμονίαν θεωρητικὴν εἶναί φησι κατὰ τὴν θεωρίαν τοῦ ἀρίστου θεωρητοῦ.

## XXVI. — Πότερον ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ, ἢ ἐν τῇ τοῦ νοῦ ἡ ἀνθρωπίνη εὐδαιμονία ὑφέστηκεν.

Ἡ ἀληθὴς μακαριότης τῆς ψευδοῦς οὐ τῇ ἐνεργείᾳ τῆς θελήσεως διαφέρει, ἀλλὰ τοῖς ἐκ τοῦ νοῦ· ὁμοίως γὰρ ἔχει ἡ θέλησις κατὰ τὸ ἐπιθυμεῖν καὶ ἀγαπᾶν καὶ ἥδεσθαι ἐπὶ παντὶ ὅπερ αὐτῇ ὡς ἔσχατον ἀγαθὸν προτίθεται ἢ ἀληθῶς ἢ ψευδῶς· ἕκαστον δὲ τοῖς συνιστῶσι τὴν οὐσίαν αὐτοῦ τὴν τῆς ἰδίας φύσεως δύναμιν ἔχει· ἡ μακαριότης ἄρα ἢ ἡ εὐδαιμονία κατ' οὐσίαν ἐν τῷ νῷ μᾶλλον ἢ ἐν τῇ τῆς θελήσεως ἐνεργείᾳ συνίσταται.

Ἔτι, εἴ τις ἐνέργεια θελήσεως αὐτὴ ἦν ἡ εὐδαιμονία, ἦν ἂν ἢ τὸ ἐπιθυμεῖν, ἢ τὸ ἀγαπᾶν, ἢ τὸ ἥδεσθαι. Τὸ μὲν οὖν ἐπιθυμεῖν ἀδύνατον εἶναι· τούτῳ γὰρ ἡ θέλησις τείνει εἰς ἐκεῖνο ὃ μήπω ἔχει, ὅπερ τῷ ὁρισμῷ τοῦ ἐσχάτου τέλους ἐναντίον. Οὔτε μὴν τὸ ἀγαπᾶν· ἀγαπᾶται γὰρ τὸ ἀγαθόν, καὶ μὴ ἐχόμενον· τῆς γὰρ ἀγάπης ἐστὶν ὅ τις μὴ ἔχει ἐπιθυμίᾳ ζητεῖν, καὶ εἰ τελειοτέρα ἡ ἀγάπη οὗ τις ἔχει, τούτου αἴτιόν ἐστι τὸ ἤδη παρὸν ἀγαθόν· ἕτερον οὖν ἐστιν ἔχειν τὸ ἀγαθόν, ὅπερ ἐστὶ τέλος, καὶ ἕτερον ἀγαπᾶν αὐτό. Ἀλλ' οὐδὲ ἡ ἡδονή· αὐτὸ γὰρ τὸ ἔχειν τὸ ἀγαθὸν ἐστιν αἴτιον ἡδονῆς, ὡς ὅταν παρόντος τοῦ ἀγαθοῦ αἰσθανώμεθα, ἢ ποτὲ παραγενομένου μεμνώμεθα, ἢ ἐλπίζωμεν τὸ ἐσόμενον. Οὐκ ἄρα ἡ ἡδονὴ ἔσχατον τέλος ἐστίν, ἄλλως τε καὶ ὅτι τὸ ἀγαθὴ εἶναι ἑτέρωθεν ἔχει, ἐκ τῆς ὕλης τῶν πράξεων τῶν ἀγαθῶν, ὥσπερ ἡ φαύλη ἐκ τῶν ἐναντίων, ἥτις ἐστὶ φευκτὴ τοῖς κατὰ λόγον καὶ νοῦν βιοῦσιν· τὸ δὲ ἔσχατον τέλος αὐτὸ καθ' αὑτὸ ζητεῖται ὡς κυρίως ἀγαθόν· καὶ ὅτι ἡδονὴ ἐν τοῖς φυσικοῖς τῆς ἐνεργείας ἕνεκα ἐστίν, ἀλλ' οὐ τὸ ἀνάπαλιν· εἰ μὴ γὰρ συνῆν ἡδονὴ τῇ τῆς τροφῆς χρήσει καὶ τῶν ἄλλων ἀναγκαίων πρὸς τὴν τοῦ εἴδους

8 Matth. 5, 8  9 Ioh. 17, 3  11 Ethic. 10, 10

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

συντήρησιν, οὐκ ἂν ἐσπουδάζετο ταῦτα ὑπὸ τῶν ζῴων τὰ ἀναγκαῖα· καὶ ὅτι ἡ ἡδονὴ ἔοικεν ἠρεμίᾳ τινὶ ἐν τῷ οἰκείῳ ἀγαθῷ. Οὔτε οὖν τέλος τῆς τοῦ βαρέος κινήσεως ἡ ἠρεμία τῆς ῥοπῆς, ᾗ πρὸς τὸν οἰκεῖον αὐτὸ τείνει τόπον, ἐστίν, ἀλλὰ | τὸ εἶναι ἐν τῷ οἰκείῳ τόπῳ, οὔτε ἡ ἡδονὴ τέλος, f. 78 ἀλλὰ κοινωνοῦσα τῷ τέλει καὶ ἑπομένη, ὡς ἐκεῖ ἡ ἠρεμία. Πολλῷ τοίνυν ἄρα μᾶλλον οὐδ' ἑτέρα τις ἐνέργεια θελήσεως ἡ εὐδαιμονία ἐστίν, ἀλλ' ἐν τῷ γινώσκειν τὸν Θεὸν διὰ τοῦ νοῦ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία· οὐσιωδῶς γὰρ μακαριότης τοῦ ἀνθρώπου ἐστὶν ἡ ἐνέργεια, δι' ἧς φθάνει πρὸς τὸν Θεόν· τοῦτο δέ ἐστιν τὸ νοεῖν, τὸ δὲ θέλειν ἕπεται· καὶ γὰρ θέλειν οὐ δυνάμεθα ὃ μὴ νοοῦμεν. Εἰ δὲ πλείους οἱ ζητοῦντες τὰς αἰσθητὰς ἡδονὰς ἢ τὴν γνῶσιν τοῦ νοῦ καὶ τὴν αὐτῷ προσήκουσαν ἡδονήν, τοῦτο διὰ τὸ τοῖς πλείοσι γνωριμωτέραν εἶναι τὰ ἔξωθεν αἰσθητὰ γίνεται, οἵτινες ἀτευκτοῦσι τοῦ τέλους.

Εἰ δέ τις λέγοι τὴν βούλησιν ὑψηλοτέραν εἶναι τοῦ νοῦ, ὥσπερ αὐτοῦ κινητικήν, καὶ τὴν ἐνέργειαν αὐτῆς τιμιωτέραν τῆς ἐνεργείας τοῦ νοῦ, καὶ διὰ τοῦτο ἐν αὐτῇ εἶναι τὴν ἐσχάτην εὐδαιμονίαν μᾶλλον, οὐκ ἀληθές· πρώτως γὰρ καὶ καθ' αὑτὸν ὁ νοῦς τὴν βούλησιν κινεῖ· ἡ γὰρ βούλησις καθόσον τοιαύτη ὑπὸ τοῦ ἰδίου ἀντικειμένου κινεῖται, ὅπερ ἐστὶ τὸ κατειλημμένον ἀγαθόν. Ἡ δὲ θέλησις κινεῖ τὸν νοῦν ὥσπερ κατὰ συμβεβηκός, καθόσον αὐτὸ τὸ νοεῖν καταλαμβάνεται ὡς ἀγαθόν, καὶ οὕτως ὑπὸ τῆς θελήσεως ἀγαπᾶται, ᾧ ἕπεται τὸ τὸν νοῦν ἐνεργείᾳ νοεῖν, καὶ τούτῳ τῆς θελήσεως προηγεῖται. Οὐδέποτε γὰρ ἡ θέλησις ἐπιθυμεῖ νοεῖν, εἰ μὴ πρότερον αὐτὸ τὸ νοεῖν ὁ νοῦς ὡς ἀγαθὸν κατελάμβανεν. Καὶ πάλιν ἡ θέλησις τὸν νοῦν κινεῖ πρὸς τὸ νοεῖν ἐνεργείᾳ, εἴτουν οἰκείως ἐνεργεῖν, καθὸ τὸ ποιοῦν κινεῖν λέγεται· ὁ δὲ νοῦς τὴν θέλησιν ὡς τὸ τέλος κινεῖ· τὸ γὰρ τοῦ νοῦ ἀγαθὸν τῆς θελήσεως τέλος ἐστίν· τὸ δὲ ποιοῦν ἐν τῷ κινεῖν ὕστερον τοῦ τέλους ἐστίν· οὐ γὰρ κινεῖ τὸ ποιοῦν, εἰ μὴ τοῦ τέλους ἕνεκα. Ὅθεν φανερὸν τὸν μὲν νοῦν ἁπλῶς εἶναι τῆς θελήσεως ὑψηλότερον, τὴν δὲ θέλησιν τοῦ νοῦ κατὰ συμβεβηκὸς καὶ κατά τι.

## XXVII. — Ὅτι οὐκ ἐν ταῖς σαρκικαῖς ἡδοναῖς ἡ ἀνθρωπίνη εὐδαιμονία.

Εἰ γὰρ ἐν τῇ τῆς βουλήσεως ἐνεργείᾳ οὐκ ἔστιν ἡ εὐδαιμονία, πολλῷ μᾶλλον ἐν ταῖς ἐνεργείαις τῆς αἰσθητικῆς ὀρέξεως, ἐν ᾗ αἱ τῆς σαρκὸς ἡδοναί· ἡ δὲ βούλησις ὑψηλότερόν ἐστι προδήλως τῆς αἰσθητικῆς ἐφέσεως· κινεῖ γὰρ αὐτήν, ὡς ἐρρήθη.

Ἔτι, αἱ τοιαῦται ἡδοναὶ καὶ τοῖς ἀλόγοις κοιναί, οἷς οὐχ ἁρμόζει ἡ εὐδαιμονία, εἰ μὴ καταχρηστικῶς.

Ἔτι, τὸ ἔσχατον ἀγαθὸν καθ' αὑτό ἐστιν, ἡ δὲ χρῆσις τῶν τοιούτων ἡδο- f. 78v νῶν ἐν τῷ μετρίῳ συνίσταται, ὡς τῇ ὑπερβολῇ φθειρομένων καὶ φθειρουσῶν.

Ε.Υ.Δ της Κατ.Π. ΙΩΑΝΝΙΝΑ 2006

Ἔτι, αἱ ἀρεταὶ πρὸς τὴν εὐδαιμονίαν συντείνουσαι ἐν τῇ ἀποχῇ μᾶλλον τῶν ἡδονῶν συνίστανται, ὡς ἡ σωφροσύνη καὶ αἱ ὅμοιαι.

Ἐντεῦθεν ἡ τῶν Ἐπικυρείων ἐκβάλλεται αἵρεσις, ἐν ταῖς ἡδοναῖς ταύταις τὴν ἀνθρωπίνην τιθέντων εὐδαιμονίαν. Καὶ ἡ τῶν Κηρινθιανῶν, οἳ μετὰ τὴν ἀνάστασιν χίλια ἔτη μυθολογοῦσι διάξειν ἐν τῇ τοῦ Χριστοῦ βασιλείᾳ ταῖς σαρκικαῖς τῆς γαστρὸς ἡδοναῖς· ὅθεν καὶ κοιλιόδουλοι ὀνομάζονται· καὶ ἡ τῶν Σαρακηνῶν καὶ Ἰουδαίων μυθολογία, οἳ τὰς τῶν δικαίων ἀνταποδόσεις ἐν ταῖς εἰρημέναις ἡδοναῖς τίθενται. Μισθὸς δὲ ἀρετῆς ἡ εὐδαιμονία.

## XXVIII. — Ὅτι οὐκ ὑφέστηκεν ἐν τιμῇ.

Ἡ γὰρ τιμὴ οὐκ ἐν τῇ ἑκάστου ἐνεργείᾳ συνίσταται, ἀλλ᾽ ἐν τῇ ἄλλου μᾶλλον, πρὸς αὐτὸν αἰδῶ τινα αὐτῷ ἀπονέμοντος· ἡ δὲ εὐδαιμονία ἐν τῇ τελειοτάτῃ τοῦ ἀνθρώπου ἐνεργείᾳ συνίσταται.

Ἔτι, ἡ τιμὴ δι᾽ ἄλλο ἐστὶν ἐφετόν· χαίρουσι γὰρ αὐτῇ οἱ ἄνθρωποι ὡς μαρτυρίᾳ τῆς ἀρετῆς, διὸ καὶ ὑπὸ σοφῶν καὶ μεγάλων θέλουσι μᾶλλον τιμᾶσθαι· τὸ δὲ ἔσχατον τέλος, ὅπερ ἐστὶν ἡ εὐδαιμονία, δι᾽ ἑαυτὸ ἐφετόν.

Ἔτι, τὸ ἄξιον εἶναι τιμῆς βέλτιον τοῦ τιμᾶσθαι· ἐγχωρεῖ γὰρ τοῦτο καὶ τοῖς φαύλοις γίνεσθαι τὸ τιμᾶσθαι. Οὐκ ἄρα τὸ τιμᾶσθαι ἔσχατον ἀγαθόν, οὗ τι βέλτιον εὕρηται προσεχῶς.

## XXIX. — Ὅτι οὐκ ἔστιν ἐν τῇ τοῦ κόσμου δόξῃ.

Ἡ γὰρ δόξα τὸ λαμπρῶς δηλονότι καὶ σὺν ἐπαίνῳ συνεχεῖ διαπεφημίσθαι τιμῆς ἕνεκα ἐστίν· ἡ δὲ τιμὴ οὐκ ἦν ἔσχατον ἀγαθόν· πολλῷ μᾶλλον ἄρα οὐδὲ ἡ δόξα.

Ἔτι, ἐν τῷ ἐσχάτῳ ἀγαθῷ ἡ ἔφεσις ἠρεμεῖ· ἡ δὲ τῆς φήμης γνῶσις, ἐν ᾗ ἡ ἀνθρωπίνη δόξα, ἀτελής ἐστι, πλεῖστον ἔχουσα ἀδηλίας καὶ πλάνης, καὶ ἄστατος· Οὐδὲν γὰρ εὐμεταβλητότερον τῶν ἐπαίνων καὶ τῆς ὑπολήψεως τῶν ἀνθρώπων.

## XXX. — Ὅτι οὐκ ἐν πλούτῳ.

Καὶ τῶν χρημάτων γὰρ ἄλλου ἕνεκα ἐρῶμεν, οὐ καθ᾽ αὑτά, πρὸς τὸ ἀνέχειν δηλονότι τὸ σῶμα. Καὶ τὰ τοιαῦτα· τὸ δὲ ἔσχατον ἀγαθὸν καθ᾽ αὑτὸ ἐφετόν, καὶ οὐ δι᾽ ἄλλο.

Ἔτι, τὸ ἔσχατον ἀγαθὸν τοῦ ἀνθρώπου ἐστὶν ἐν τῷ τετάχθαι τὸν ἄνθρωπον πρός τι βέλτιον ἑαυτοῦ· τῶν δὲ χρημάτων βελτίων ὁ ἄνθρωπος, πρὸς τὴν χρῆσιν αὐτοῦ τεταγμένων.

Ἔτι, ἐν τῷ πλούτῳ μέγιστον ἔχει τόπον ἡ τύχη καὶ κτωμένοις καὶ ἀποκτωμένοις τοῖς ἀνθρώποις· τὸ δὲ ἔσχατον ἀγαθὸν οὐχ ὑπόκειται τύχῃ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XXXI. — Ὅτι οὐκ ἐν εὐτυχίᾳ. Ἐν ἄλλῳ· ὅτι οὐκ ἐν ἐξουσίᾳ. f. 79

Πλεῖστόν τε γὰρ ἡ τύχη δύναται ἐν αὐτῇ καὶ ἄστατός ἐστι, καὶ οὐχ ὑποκειμένη τῇ τοῦ ἀνθρώπου βουλήσει· ἐπὶ πλεῖστόν τε τοῖς κακοῖς σύνεστι καὶ πρὸς ἕτερόν ἐστιν, οὐχ ἑαυτῆς χάριν, καὶ καλῶς καὶ κακῶς δυναμένη ὑποκεῖσθαι τῇ χρήσει τῶν ἐχόντων, ἃ πάντα τοῦ ἐσχάτου τέλους ἀλλότρια.

Ἐπεὶ δὲ πάντα τὰ ἐξωτερικὰ ἀγαθά, ἃ καὶ τύχης λέγονται ἀγαθά, τὰ προειρημένα εἰσί, δῆλον ὡς ἐν οὐδενὶ ἐξωτερικῷ ἀγαθῷ ἡ εὐδαιμονία.

## XXXII. — Ὅτι οὐκ ἐν τοῖς τοῦ σώματος ἀγαθοῖς.

Ὑγίεια γὰρ καὶ κάλλος καὶ ἰσχὺς καὶ τὰ τοιαῦτα, κοινὰ καὶ ἀγαθοῖς καὶ φαύλοις, καὶ ἄστατα, καὶ τῇ βουλήσει μὴ ὑποκείμενα, ὧν οὐδὲν προσήκει τῷ ἐσχάτῳ τέλει.

Ἔτι, ὅσῳ ἡ ψυχὴ βελτίων τοῦ σώματος, τοσούτῳ καὶ τῶν σωματικῶν ἀγαθῶν ὑψηλότερον τὸ τῆς ψυχῆς ἀγαθόν, οἷον τὸ νοεῖν καὶ τὰ τοιαῦτα. Οὐκ ἄρα ἔσχατον ἀγαθὸν τὸ σωματικόν.

Ἔτι, τὰ σωματικὰ ταῦτα ἀγαθά, καὶ τοῖς ἄλλοις ζῴοις κοινά· ἡ δὲ εὐδαιμονία, ἴδιον ἀγαθὸν τοῦ ἀνθρώπου.

Ἔτι, ἔνια τῶν ζῴων μᾶλλον ἔχει τὰ τοῦ σώματος ἀγαθά, καὶ οὐκ ἂν ἦν ἄριστον πάντων ὁ ἄνθρωπος, εἰ ἐν τοῖς τοιούτοις ἀγαθοῖς τὸ εὐδαῖμον ἦν.

## XXXIII. — Ὅτι οὐδὲ ἐν τοῖς τοῦ αἰσθητικοῦ μέρους ἀγαθοῖς.

Καὶ τοῦτο δὲ ἐκ τῶν προειρημένων δῆλόν ἐστιν.

## XXXIV. — Ὅτι οὐκ ἐν ταῖς ἐνεργείαις τῶν ἠθικῶν ἀρετῶν.

Αἱ γὰρ ἠθικαὶ πράξεις πεφύκασι πρὸς ἕτερόν τι τετάχθαι, οἷον αἱ τῆς ἀνδρείας ἐνέργειαι, πρὸς νίκην καὶ εἰρήνην καὶ τὰ ἐκ τούτων· οὐ γὰρ καθ' αὑτὸ αἱρεῖταί τις πολεμεῖν· καὶ αἱ τῆς δικαιοσύνης, πρὸς τὸ μεθ' ἡσυχίας καὶ εἰρήνης ἕκαστον τῶν ἑαυτοῦ ἀπολαύειν· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Ἡ δὲ ἀνθρωπίνη εὐδαιμονία, ἐσχάτη οὖσα, πρὸς οὐδὲν τελικώτερον τέτακται.

Ἔτι, καθὸ ὁ ἄνθρωπος ὁμοιοῦται Θεῷ μάλιστα, ἐκεῖνο ἡ εὐδαιμονία αὐτοῦ, ὡς τέλος ὂν ἔσχατον ἀνθρώπῳ καὶ πᾶσι τὸ ὁμοιωθῆναι Θεῷ, ὡς εἴρηται. Ἀλλὰ τοῦτο ἐν ταῖς ἠθικαῖς ἐνεργείαις οὐκ ἔνι· αἱ γὰρ ἐνέργειαι αὗται οὐχ ἁρμόζουσι τῷ Θεῷ, εἰ μὴ μεταφορικῶς· οὐ γὰρ προσήκει τῷ Θεῷ πάθη ἔχειν καὶ τὰ τοιαῦτα, περὶ ἃ αἱ ἠθικαὶ ἀρεταί.

1 Ce titre dans la marge supérieure A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XXXV. — Ὅτι οὐκ ἐν ταῖς ἐνεργείαις τῆς φρονήσεως.

Αὗται γὰρ περὶ μόνα τὰ ἠθικά εἰσιν, ἐν οἷς οὐκ ἔστιν ἡ εὐδαιμονία τοῦ ἀνθρώπου.

Ἔτι, περὶ τὰ συμβεβηκότα πρακτά εἰσιν, οὐ περὶ τὰ τελειότατα ἀντικείμενα τοῦ νοῦ καὶ τοῦ λόγου, οἷον τὰ ἀναγκαῖα.

Ἔτι, καὶ τὰ ἄλογα ζῷά τινα μετέχει φρονήσεως, ὡς ἐν πρώτῳ τῶν f. 79 v μετὰ τὰ φυσικά· ἀλλ᾽ οὐδὲν | αὐτῶν μετέχει τι εὐδαιμονίας, ὡς ἐν πρώτῳ τῶν ἠθικῶν δείκνυται.

## XXXVI. — Ὅτι οὐκ ἐν ἔργῳ τέχνης τινός.

Καὶ ἡ τῆς τέχνης γὰρ γνῶσις πρακτική ἐστιν, καὶ διὰ τοῦτο πρὸς τέλος ἐστίν, καὶ οὐκ ἔσχατον τέλος.

Ἔτι, τὰ τέλη τῶν τῆς τέχνης ἐνεργειῶν τὰ τεχνητά εἰσι, ἃ τῆς ἀνθρωπίνης ζωῆς ἔσχατον οὐκ εἰσὶ τέλος. Ἡμεῖς μὲν οὖν τέλος αὐτῶν ἐσμέν· πάντα γὰρ τῆς τοῦ ἀνθρώπου χρήσεως ἕνεκα γίνονται. Οὐδ᾽ ἄρα ἐν πράξει τέχνης ἡ εὐδαιμονία.

## XXXVII. — Ὅτι ἐν τῇ τοῦ Θεοῦ θεωρίᾳ ἐστίν.

Ἐν οὐδενὶ γὰρ τῶν προειρημένων οὖσαν τὴν ἐσχάτην ἀνθρώπου εὐδαιμονίαν, ὑπόλοιπόν ἐστιν ἐν τῇ θεωρίᾳ τῆς ἀληθείας εἶναι. Αὕτη γὰρ ἡ ἐνέργεια μόνη, ἰδία τοῦ ἀνθρώπου, καὶ ταύτης κατ᾽ οὐδένα τρόπον τῶν ζῴων οὐδενὶ κοινωνεῖ, καὶ διὰ ταύτης τοῖς ἀνωτέρω ἑαυτοῦ συνάπτεται δι᾽ ὁμοιότητος, ἐπεὶ αὕτη μόνη τῶν ἀνθρωπίνων ἐνεργειῶν ἔν τε Θεῷ καὶ ταῖς χωρισταῖς οὐσίαις ἐστίν, ταύτῃ τε τῶν ἀνωτέρων ἐφάπτεται τῷ γινώσκειν αὐτὰ ἁμηγέπῃ, πρὸς ταύτην τε τὴν ἐνέργειαν μάλιστα ἀρκεῖ ἑαυτῷ.

Ἔτι, πᾶσαι αἱ ἀνθρώπιναι πράξεις ὥσπερ εἰς τέλος δοκοῦσιν αὐτὴν τάττεσθαι· καὶ σώματος γὰρ ὑγίεια, καὶ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα, ὧν ἕνεκα αἱ τέχναι καὶ τὰ τεχνητά, καὶ ἡ ἠρεμία τῆς ἀπὸ τῶν παθῶν ταραχῆς, ἡ ἐκ τῶν ἠθικῶν ἀρετῶν γινομένη, καὶ ἡ ἀπὸ τῶν ἔξωθεν ἠρεμία, καὶ πάντα δουλεύειν δοκοῦσι τῇ θεωρίᾳ τῆς ἀληθείας.

Ἀλλ᾽ οὔτ᾽ ἐν τῇ κατὰ νοῦν θεωρίᾳ τῶν ἀρχῶν ἐστιν ἡ εὐδαιμονία· ἀτελεστάτη γάρ, ὡς καθόλου καὶ ἐν δυνάμει τὴν γνῶσιν ἔχουσα, καὶ ἀρχή τις ἀλλ᾽ οὐ τέλος τοῦ ἀνθρωπίνου σκοποῦ, ἐκ φύσεως προϊοῦσα, ἀλλ᾽ οὐκ ἀγῶνι καὶ ἀρετῇ, οὔτε κατὰ τὰς ἐπιστήμας τῶν εὐτελῶν. Ἀνάγκη γὰρ τὴν εὐδαιμονίαν ἐν τῇ ἐνεργείᾳ εἶναι τοῦ νοῦ κατὰ τὴν πρὸς τὰ τιμιώτατα τῶν νοητῶν παράθεσιν. Λείπεται τοίνυν ἐν τῇ τῆς σοφίας θεωρίᾳ ὑφεστάναι τὴν ἐσχάτην τοῦ ἀνθρώπου εὐδαιμονίαν καὶ τῇ περὶ τῶν θείων ἐπισκέψει· ἐξ οὗ φανερὸν δι᾽ ἐπαγωγῆς ὅπερ τοῖς προειρημένοις ἀποδέδεικται λόγοις, ὡς ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία ἐν μόνῃ τῇ τοῦ Θεοῦ θεωρίᾳ συνίσταται.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## XXXVIII. — Ὅτι οὐκ ἐν τῇ κοινῶς πᾶσιν ἐνούσῃ περὶ τοῦ Θεοῦ γνώσει ἡ ἐσχάτη εὐδαιμονία.

Ἡ γὰρ κοινὴ καὶ ἀδιάρθρωτος γνῶσις περὶ Θεοῦ, ἡ πᾶσιν ἐνοῦσα σχεδὸν ἀνθρώποις, εἴτε αὕτη ᾗ γινώσκομεν τὸ τὸν Θεὸν εἶναι καθ' αὑτὸ εἶναι γνώριμον, εἴτε τὸ τὸν ἄνθρωπον τῇ φύσει τοῦ λόγου εὐθὺς | ἐξ ἀρχῆς f. 80 εἰς ὁποιανδήποτε περὶ Θεοῦ γνῶσιν δύνασθαι προϊέναι, αὕτη καὶ ἀτελής ἐστι καὶ πολλῆς πλάνης μεστή. Ἐκ γὰρ τῆς τάξεως τῶν πραγμάτων τῶν φυσικῶν ὑπολαμβάνουσιν οἱ ἄνθρωποι ἐξ ἀρχῆς εἶναί τινα τὸν τάττοντα· τίς δὲ καὶ ποῖος, καὶ πότερον εἷς ἢ πλείους, οὔπω εὐθὺς συνεῖδον. Ὅθεν καὶ πολλοὶ πεπλάνηνται, ὡς οἱ τὰ οὐράνια σώματα θεοὺς ἢ τὰ στοιχεῖα ὑπειληφότες, ἢ ὅσα πλάναις συνέστησαν περὶ τῶν τοιούτων ἐν ἀνθρώποις. Ἀλλὰ τὴν ἐν ταῖς ἐνεργείαις εὐδαιμονίαν ἄνευ τινὸς ἐνδείας καὶ πλάνης εἶναι ἀνάγκη.

## XXXIX. — Ὅτι οὐδὲ ἐν τῇ δι' ἀποδείξεως περὶ Θεοῦ γνώσει.

Εἰ γὰρ καὶ τῆς εἰρημένης αὕτη ὑψηλοτέρα, καὶ δι' αὐτῆς μᾶλλον τῇ ἰδίᾳ περὶ αὐτοῦ γνώσει προσάγομεν· διὰ γὰρ τῆς ἀποδείξεως πολλὰ περὶ αὐτοῦ ἀποφάσκομεν, ὧν ἀναιρουμένων, διακεκριμένον τι τῶν ἄλλων αὐτὸς εἶναι νοεῖται, εἰ καὶ τελειότερον διὰ τῆς καταφατικῆς ἀποδείξεως τὸ πρᾶγμα γινώσκεται· γνωσθέντος γὰρ δι' αὐτῆς τί ἐστιν, καὶ ὅπως διακέκριται τῶν ἄλλων γινώσκεται· διὰ δὲ τῆς ἀποφατικῆς τὸ μὲν διακεκρίσθαι τῶν ἄλλων γινώσκεται, τὸ δὲ τί ἐστιν αὐτὸ ἄγνωστον μένει. Ἀλλ' οὐδ' αὕτη ἡ ἰδία περὶ τοῦ Θεοῦ διὰ τῆς ἀποφατικῆς ἀποδείξεως γνῶσις πρὸς εὐδαιμονίαν ἀρκεῖ· ἡ γὰρ εὐδαιμονία, κοινόν τι τέλος καὶ ἀγαθόν, οὗ δυνατὸν πάντας τυχεῖν, ἂν μή τι συμβῇ κώλυμα· εἰς δὲ τὴν εἰρημένην περὶ Θεοῦ γνῶσιν ὀλίγοι πάνυ ἀφικνοῦνται διὰ τὰ τῆς περὶ ταύτην σπουδῆς κωλύματα, ὧν ἐν τῷ βιβλίῳ τῷ προτέρῳ ἡψάμεθα.

Ἔτι, ἡ ῥηθεῖσα γνῶσις περὶ Θεοῦ πολλὴν πλάνην ἔχει συνεζευγμένην, καὶ πολλοὶ ἐξ αὐτῆς αἱρέσεσιν ἐνέπεσον, ἀποδείξεως ἔχοντες ἐνδεῶς καὶ μὴ ἐκ Θεοῦ φωτισθέντες. Ἡ δὲ πλάνη κακοδαιμονία τις ἐστί, καὶ φευκτὴ διὰ τοῦτο φύσει. Ἀλλὰ τῇ εὐδαιμονίᾳ οὐδὲν συνέζευκται κακοδαιμονίας.

Ἔτι, ἡ δύναμις ὅλη τοῦ δυνάμει νοῦ εἰς ἐνέργειαν ἄγεται, ὅταν τοῦ ἰδίου τέλους ἡ ψυχὴ τυγχάνῃ· πρὸς γὰρ τὸ ἔσχατον τέλος, ὅπερ ἐστὶν ἡ εὐδαιμονία, ἀναγκαίως ἡ κατὰ τὴν νοερὰν ἐνέργειαν τελείωσις ζητεῖται, ὃ τῇ ῥηθείσῃ δι' ἀποδείξεως γνώσει οὐ σύνεστι· καὶ γὰρ ταύτην ἔχοντες, ἔτι πολλὰ ἀγνοοῦμεν. Οὐκ ἄρα ἡ τοιαύτη γνῶσις πρὸς τὴν ἐσχάτην εὐδαιμονίαν ἀρκεῖ.

---

23 *αὐτό*: **Scholarios avait d'abord écrit** *αὐτοῦ* **A**

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## XL. — Ὅτι οὐδὲ ἐν τῇ διὰ πίστεως περὶ Θεοῦ γνώσει ἐστίν.

f. 80v Ἡ γὰρ πίστις κατά τι μὲν ταύτην τὴν δι' ἀποδείξεως περὶ Θεοῦ γνῶσιν ὑπερβαίνει· ἴσμεν γὰρ διὰ πίστεως ἐφ' ἃ διὰ τὴν τούτων ὑπεροχὴν ὁ λόγος φθάσαι οὐ δύναται, ὡς ἐν τῇ ἀρχῇ δέδεικται τῆς πραγματείας. Ἔστι δὲ οὐδ' ἐν αὐτῇ ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία· ἡ μὲν γάρ, τοῦ νοῦ τελεία ἐνέργεια· ἡ δὲ πίστις ἀτελῆ τὴν ἐνέργειαν ἔχει τοῦ νοῦ, ὅσον τὸ ἐκ τοῦ νοῦ, εἰ καὶ ὅσον ἐκ τοῦ γνωστοῦ, τελειοτάτην· οὐ γὰρ δέχεται ὁ νοῦς ᾧ προστίθεται τῷ πιστεύειν.

Ἔτι, δέδεικται τὴν εὐδαιμονίαν ἐν τῇ τῆς βουλήσεως ἐνεργείᾳ μὴ ὑφεστάναι· ἐν δὲ τῇ διὰ πίστεως γνώσει τὸ πρωτεῖον ἡ βούλησις ἔχει· προστίθεται γὰρ ὁ νοῦς τοῖς διὰ πίστεως προβαλλομένοις αὐτῷ διότι βούλεται, οὐχ ἑλκόμενος πρὸς τὴν ἀνάγκην ἐξ αὐτοῦ τοῦ προδήλου τῆς ἀληθείας.

Ἔτι, διὰ τῆς εὐδαιμονίας ἡ φυσικὴ ἔφεσις ἠρεμεῖ· ἡ δὲ γνῶσις τῆς πίστεως διεγείρει μᾶλλον τὴν ἔφεσιν· ἕκαστος γὰρ ἐπιθυμεῖ ὃ πιστεύει καὶ ἰδεῖν.

Ἔτι, ἡ μὲν τελεία περὶ Θεοῦ γνῶσις, ἣ καὶ εὐδαιμονία τοῦ ἀνθρώπου ἐδείχθη, ἔσχατον τέλος ἐστίν, ὡς συνάπτουσα τῷ ἐσχάτῳ πάντων τέλει Θεῷ· ἐν δὲ τῇ ἐκ πίστεως γνώσει οὐ πάρεστι τὸ πιστευόμενον τῷ νῷ τελείως· ἡ γὰρ πίστις τῶν ἀπόντων μᾶλλον ἐστίν, οὐ τῶν παρόντων, ὡς ἐν τῇ πρὸς Κορινθίους λέγεται, ὅτι „ἐφόσον διὰ πίστεως περιπατοῦμεν, ἀποδημοῦμεν ἀπὸ τοῦ Θεοῦ“· πάρεστι δὲ ὅμως ὁ Θεὸς τῇ διαθέσει τοῦ ἑκουσίου τῇ πίστει προστιθεμένου, ὡς ἐν τῇ πρὸς Ἐφεσίους λέγεται, ὅτι „ὁ Χριστὸς κατοικεῖ διὰ πίστεως ἐν ταῖς ἡμῶν καρδίαις“.

## XLI. — Ὅτι ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία οὐκ ἐν τῇ τῶν χωριστῶν οὐσιῶν γνώσει.

Ἐπεὶ δέ τινες τῆς ἐν τῇ παρούσῃ ζωῇ τοῦ ἀνθρώπου ἐσχάτην εὐδαιμονίαν κατὰ τὸ νοεῖν τὰς χωριστὰς οὐσίας ὑπέθεντο, αὐτὸ τοῦτο πρῶτον ζητητέον, εἰ δύναται ὁ ἄνθρωπος ἐν τῇ παρούσῃ ζωῇ τὰς χωριστὰς οὐσίας νοεῖν. Ἐπεὶ δὲ ὁ νοῦς ὁ ἀνθρώπινος ἐν τῇ παρούσῃ ζωῇ οὐδὲν ἄνευ φαντάσματος νοεῖ, διὰ τοῦτο τινὲς ὑπέθεντο διὰ τῆς ἐκ τῶν φαντασμάτων γνώσεως πρὸς τὸ τὰς χωριστὰς οὐσίας νοεῖν δύνασθαι ἐν τῷ παρόντι τὸν ἄνθρωπον ἀφικέσθαι· διαφόρως μέντοι ὑπέθεντο τοῦτο· ἄλλαις γὰρ ὁδοῖς Ἀβερόης, καὶ ἄλλαις Ἀλέξανδρος. Ἀλλ' ἀδύνατον τῇ διὰ τῶν φαντασμάτων ὁδῷ τὰς χωριστὰς γινώσκειν οὐσίας· ἡ γὰρ τοῦ νοητοῦ ὑπόστασις καθόλου τινός ἐστιν εἴδους ἢ γένους· αὕτη δὲ τὸ εἶδος καὶ τὴν ὕλην ἐν

---

21 II Cor. 56  24 Eph. 3, 17  26 Ce titre ne vient pas de Scholarios mais de la main qui a dressé l'index de A

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἑαυτῇ περιέχει· ἡ δὲ | τῆς χωριστῆς οὐσίας ὑπόστασις, ἄϋλος καὶ ἁπλῆ. f. 81 Οὐκ ἄρα δυνατόν, διὰ τὸ τὴν οὐσίαν τοῦ αἰσθητοῦ πράγματος ἐκ τῶν φαντασμάτων νοεῖσθαι, ὑπόστασιν νοεῖσθαι τῆς χωριστῆς οὐσίας.

## XLII - XLIV.

Ὅτι οὐ δυνατὸν ἐν τῷ βίῳ τὰς χωριστὰς οὐσίας νοεῖν, ὡς Ἀλέξανδρος ὑποτίθεται.

Ὅτι οὐ δυνατὸν τὰς χωριστὰς οὐσίας νοεῖν, ὡς Ἀβερόης ὑποτίθησιν.

Ὅτι ἡ ἐσχάτη τοῦ ἀνθρώπου εὐδαιμονία οὐκ ἐν τῇ τῶν χωριστῶν οὐσιῶν ὑφίσταται γνώσει.

Εἰ γὰρ ἀδύνατόν ἐστιν ἐνταῦθα τὰς χωριστὰς οὐσίας νοεῖν τὸν ἄνθρωπον, ἀδύνατον ἐν τῷ ἀδυνάτῳ τὴν ἀληθινὴν εὐδαιμονίαν τοῦ ἀνθρώπου συνίστασθαι· ἢ γὰρ ἂν μάτην ὅ τε ἄνθρωπος καὶ ἡ φυσικὴ αὐτοῦ ἔφεσις ἦν.

## XLV. — Ὅτι οὐ μόνον κατὰ τὰ Ἀβερόου καὶ Ἀλεξάνδρου κινητικά, ἀλλὰ καὶ ἁπλῶς ἀδύνατον ἐν τῷ παρόντι βίῳ τὰς χωριστὰς οὐσίας νοεῖν,

τῆς τοιαύτης δυσχερείας, ἐξ ἡμῶν, οὐκ ἐξ ἐκείνων συμβαινούσης· ὁ γὰρ ἡμέτερος νοῦς οὕτως ἔχει πρὸς τὰ φανερώτατα τῶν πραγμάτων, ὡς ὁ Φιλόσοφος φησίν, ὃν τρόπον ἔχει πρὸς τὸ τοῦ ἡλίου φῶς ὁ τῆς νυκτερίδος ὀφθαλμός· ὁ γὰρ δυνάμει νοῦς ἡμῶν, παθητική τις δύναμις οὖσα, ἔχει ἀντικείμενον ἴδιον ἐνεργητικὸν τὸν ἐνεργείᾳ νοῦν. Ὅθεν ἑκάτερον ὑπογράφων Ἀριστοτέλης, φησὶν ἐν τρίτῳ τῶν περὶ ψυχῆς· „Δυνάμει νοῦς ἐστιν, ᾧ πάντα ἐστὶ γίνεσθαι· ἐνεργείᾳ δέ ἐστιν, ᾧ ἐστι πάντα ποιεῖν“, ὡς ἐντεῦθεν πρὸς τὰ αὐτὰ τὴν ἑκατέρου δύναμιν ἀναφερομένην ὁρᾶσθαι· τοῦ μὲν τὴν ἐνεργητικήν, τοῦ δὲ τὴν παθητικήν. Ἐπεὶ τοίνυν τὰ ὑλικὰ διὰ τοῦ ἐνεργείᾳ νοῦ γίνονται νοητά, καὶ πρὸς ταῦτα μόνον ἐκτείνει ἑαυτὸν ὁ δυνάμει νοῦς, οὐ δυνάμεθα διὰ τούτου τὰς χωριστὰς οὐσίας νοεῖν, ὡς ὁ τῆς νυκτερίδος ὀφθαλμὸς οὐδέποτε δύναται τὸ τοῦ ἡλίου φῶς ἰδεῖν κατὰ τὸ Ἀριστοτελικὸν παράδειγμα. Ἀλλ' εἰ καὶ ὑφ' ἡμῶν οὐ νοοῦνται, νοοῦνται ὑφ' ἑαυτῶν αἱ χωρισταὶ οὐσίαι· ὅθεν οὐδὲ μάτην εἰσὶ χωρισταί, ὡς ἄν τις ὑπονοήσειεν, ὥσπερ οὐδὲ ὁ ἥλιος μάτην ὁρατὸς διὰ τὸ τῇ νυκτερίδι μὴ θεωρεῖσθαι· ἔστι γὰρ ἄλλοις θεωρητός. Εἴτε τοίνυν οὐκ ἔστι χωριστὸς ὁ δυνάμει νοῦς, ὡς ἔνιοι ὑπέθεντο, οὐ δύναται τὰς χωριστὰς οὐσίας νοεῖν. Πεφυκὼς κατ' οὐσίαν τὰ ἐν ὕλῃ μόνον νοεῖν· εἴτε, ὅπερ ἀληθές ἐστι, καὶ σώματι ἡνωμένος, ὅμως ἄφθαρτός ἐστι καὶ τῆς ὕλης κατὰ τὸ εἶναι οὐκ | ἠρτημένος, ἕπεται τὸ πεφυκέναι τὰ ἐν ὕλῃ νοεῖν συμβαίνειν αὐτῷ ἐκ f. 81v τῆς πρὸς τὸ σῶμα ἑνώσεως. Ὅθεν ὅταν ἡ ψυχὴ τοῦ τοιοῦδε σώματος

Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2006